# ΣΥΜΠΛΗΡΩΜΑ ΑΚΟΛΟΥΘΙΑΣ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΜΑΜΑΝΤΟΣ

**2 ΣΕΠΤΕΜΒΡΙΟΥ**



# ΣΕΠΤΕΜΒΡΙΟΥ Β'

## *Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Μάμαντος.*

### ΕΝ ΤΩ͂, ΜΙΚΡΩ͂, ΕΣΠΕΡΙΝΩ͂,

Ἱστῶμεν Στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

Ἐκ ῥίζης βλαστήσας εὐκλεοῦς, Μάμα παμμακάριστε, οἷά περ φοίνιξ ὑψίκομος, καρποὺς ἐξήνεγκας, τοὺς τῆς εὐσεβείας, μαρτυρίου σκάμμασιν, ἐκτρέφοντας ἡμῶν τὴν διάνοιαν, τῶν εὐφημούντων σου, τοὺς ἀγῶνας τῆς ἀθλήσεως, καὶ τελούντων, τὴν ἔνδοξον μνήμην σου.

Νεότητι σώματος σοφέ, τὸν ἀρχαῖον δράκοντα, μαρτυρικῶς καταβέβληκας, τῇ δεδομένῃ σοι, ἄνωθεν ἰσχύϊ, Μάμα παναοίδιμε, καὶ χαίρων τὸν Χριστὸν ὡμολόγησας, τὸν σὲ δοξάσαντα, ἐν σημείοις καὶ δυνάμεσι, καὶ ποικίλοις, Ἀθλοφόρε, θαύμασι.

Ῥυσθεὶς τῆς ὁρμῆς τῶν διωκτῶν, προμηθείᾳ κρείττονι, ἔνδον σπηλαίου κατῴκησας, ἔνθα τρεφόμενος, γάλακτι ἐλάφου, θαυμαστῶς μακάριε, πρὸς μείζονας ἀγῶνας ἀθλήσεως, σαυτὸν ἡτοίμασας, οὓς διήνυσας ὡς ἄσαρκος, καὶ πλουσίαις, δωρεαῖς δεδόξασαι.

Τρωθείς σου τὰ σπλάγχνα διαμπάξ, τὴν καρδίαν ἔτρωσας, λόγχῃ σοφὲ τῆς ἀνδρείας σου, τοῦ πολεμήτορος, καὶ τροπαιοφόρος, πρὸς Χριστὸν ἀνέδραμες, παρ' οὗ τὰ τῶν ἀγώνων σου ἔπαθλα, λαμπρῶς ἀπείληφας, ἱκετεύων Μάμα πάντοτε, ὑπὲρ πάντων, τῶν ὑμνολογούντων σε.

*Δόξα. Ἦχος δ'.*

Τὴν θείαν ἐνδεδυμένος δύναμιν, ἐν ἀσθενείᾳ σαρκὸς ἠνδραγάθησας, ὡς στρατιώτης Χριστοῦ ἀήττητος, Μάμα ἀξιάγαστε· καὶ τὸν κάλλιστον ἀγῶνα, καλῶς τελέσας, τῶν κατ' ἀξίαν βραβείων ἔτυχες, καὶ ἀντιλήπτωρ θερμὸς καὶ πρόμαχος, τοῖς εὐσεβέσιν ὤφθης· διό σου τὴν ἐτήσιον, μνήμην ἑορτάζομεν.

*Καὶ νῦν. Θεοτοκίον.*

*Ἐκ παντοίων κινδύνων...*

## Ἀπόστιχα.

**Ἦχος β'.** *Οἶκος τοῦ Ἐφραθᾶ.*

Βλάστημα εὐκλεές, μαρτύρων Μάμα πέλων, τοῖς ἴχνεσι τοῖς τούτων, ἀξίως ἐπορεύθης, καὶ θαυμαστῶς ἠγώνισαι.

**Στίχ.** Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Ἄθλους ὑπερφυεῖς, ἀνύσας Ἀθλοφόρε, ἐξέπληξας τοὺς πάντας, τοῖς θαύμασί σου Μάμα, καὶ τὸν Χριστὸν ἐδόξασας.

**Στίχ.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ἅπασιν ἐναργής, ἡμῖν τῆς σῆς εὐνοίας, ἡ χάρις καθορᾶται· διό σε μάρτυς Μάμα, χρεωστικῶς γεραίρομεν.

*Δόξα.* **Τριαδικόν.**

Σθένει τριαδικῷ, θεόφρον ἀριστεύων, Τριάδα τὴν ἁγίαν, ἕνα Θεὸν τῶν ὅλων, Μάμα λαμπρῶς ἐκήρυξας.

*Καὶ νῦν.* **Θεοτοκίον.**

Λόγον τὸν τοῦ Θεοῦ, ἐκ σοῦ σάρκα λαβόντα, ἐκύησας ἀφράστως, καὶ πύλη σωτηρίας, Παρθένε κόσμῳ γέγονας.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

---

## ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν **Στίχους** στ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

**Ἦχος δ'.** *Ὁ ἐξ Ὑψίστου κληθείς.*

Ὁ ἀπὸ ρίζης ἀνθήσας μακαρίας, ὅτε οἱ τεκόντες σε, ἀγωνιζόμενοι, τὸ θεῖον σκάμμα τῆς πίστεως, καθάπερ ἄνθος, πανευθαλές σε κόσμῳ προήγαγον, τότε τὴν οὐράνιον, πᾶσι διέπνευσας, τῆς εὐσεβείας ἐν Πνεύματι, ὀσμὴν τὴν θείαν, ὑπερφυέσιν ἄθλοις καὶ θαύμασι, καὶ ἀηττήτοις ἀγωνίσμασι, μεγαλύνας Χριστὸν Μάμα ἔνδοξε· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ ἐν ἀγῶσιν ἁγίοις ἀριστεύσας, ἰσχύϊ τοῦ Πνεύματος, ἐνδυναμούμενος, τῶν ραβδισμῶν τὸ ἐπώδυνον, καὶ τὰς αἰκίας, καὶ ἀλγηδόνας πάσας τοῦ σώματος, ἀνδρείως ὑπέμεινας, στερρῷ φρονήματι, ὡς ἀθλητὴς ἀκατάπληκτος, καὶ στρατιώτης, τοῦ βασιλέως τῆς δόξης ἄριστος· καὶ ἐν πυρί τε καὶ ἐν ὕδασι, τοῦ Σωτῆρος ἐκφήνας τὴν δύναμιν, θαυμαστῶς ἐδοξάσθης, μάρτυς Μάμα θεοδόξαστε.

Ὁ ἐν τῷ ὄρει οἰκήσας θείᾳ νεύσει, ἐλάφων τῷ γάλακτι, ἐτράφης Ἅγιε, τῇ προμηθείᾳ τῇ ἄνωθεν, πρὸς τοὺς ἀγῶνας, τοὺς μετὰ ταῦτα ἐκγυμναζόμενος· ἐντεῦθεν ἀπτόητος, τοῖς ἐκζητοῦσί σε, ἐπέστης Μάμα καὶ ἤλεγξας, τούτων τὴν πλάνην, λόγων σοφίᾳ καὶ ἔργων χάριτι· καὶ νίκης ἄρας μέγα τρόπαιον, νικηφόρος Χριστῷ ἀνελήλυθας· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

### *Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α'.*

Ὡς θαυμαστή σου ἡ ἄθλησις, καὶ ἡ παρὰ Χριστοῦ δοθεῖσά σοι χάρις, μάρτυς Μάμα πανθαύμαστε· ἀξίως γὰρ τῶν ὠδίνων, ἀναστραφεὶς ἐν τῷ κόσμῳ, θαυμαστὰ καὶ παράδοξα, ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ ἐνήργησας. Ἀλλ' ὡς τῆς ἄνω δόξης κατατρυφῶν, θέσει λαμπρᾷ θεούμενος, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει βοώντων· Κύριε δόξα σοι.

### *Ἦχος β'.*

Τὸν ἐν Μάρτυσι περίδοξον, καὶ πανταχοῦ περιβόητον, ὡς ταχὺν ἐν προστασίαις, Μάμαντα τὸν μέγαν, μαρτυρικῶς ὑμνήσωμεν· ἐξ ἁπαλῶν γὰρ ὀνύχων, ἀκολουθήσας Χριστῷ, τούτου τὰ στίγματα, τῷ σώματι ἐβάστασε, τῶν παθῶν αὐτοῦ μιμητὴς γενόμενος· ἀθλητικῶς γὰρ ἠγωνίσατο, ἀλογήσας τῆς σαρκός, καὶ τὸν ἐχθρὸν ἐξενεύρισε, τῇ ἀτρέπτῳ ἐνστάσει· πᾶσι δὲ ἡμῖν αἰτεῖται ἴασιν παθῶν καὶ κινδύνων ἀπαλλαγήν, καὶ σωτηρίαν αἰώνιον.

### *Ἦχος γ'.*

Μαρτυρικῶς ἀγωνιζόμενος, ἔξω κόσμου καὶ σαρκὸς ἐδείχθης, τῇ μιμήσει τῶν παθῶν τοῦ Σωτῆρος, Μάμα μακάριε· τῇ γὰρ θείᾳ ἐλλάμψει πτερωθείς, ὥσπερ ἄλλου πάσχοντος, ταῖς ἀλγηδόσιν ἐνεκαρτέρησας· ὅθεν θῆρές σε ᾐδέσθησαν, πῦρ σοι ὑπεχώρησε, θάλασσα βατὴ σοι γέγονε, καὶ οἱ νουνεχῶς ὁρῶντες, τὴν ἐν σοὶ τοῦ Σταυροῦ θριαμβεύουσαν δύναμιν, μεγαλοφώνως ἔκραζον· Κύριε δόξα σοι.

### *Ἦχος δ'.*

Τὴν πανοπλίαν τοῦ φωτὸς περιζωσάμενος, τὸν ἄρχοντα τοῦ σκότους κατηγωνίσω, ἀθλητικοῖς παλαίσμασι, Μάμα ἀξιάγαστε· τῇ γὰρ θείᾳ ἀγάπῃ, ἀκλινῶς ἐρηρεισμένος, στῦλος εὐσεβείας ἀκλόνητος, ἐν τῷ καιρῷ τῶν διωγμῶν, καὶ Ἐκκλησίας βάσις ἄσειστος, ἀληθῶς ἐχρημάτισας· ποικιλοτρόπως γὰρ δοκιμασθείς, τῶν ἀντικειμένων τὰς ἐπινοίας εἶλες, καὶ τὴν ὁμολογίαν τῆς πίστεως, τοῖς τιμίοις σου πάθεσιν, ἐδόξασας κράζων· Κύριε δόξα σοι.

### *Δόξα. Ἦχος πλ. α'.*

Φωτοφανὴς ἐν Πνεύματι τῷ Ἁγίῳ ὤφθης, λαμπρυνθεὶς τὴν διάνοιαν, ὡς ὁ Μωσῆς ἐν τῷ ὄρει· δι' ἀρετῆς γὰρ δεδόξασαι, καὶ τῆς θείας δόξης, τοὺς χαρακτῆρας, ἔργῳ καὶ λόγῳ πᾶσιν ὑπέδειξας, ἐν ἀσθενείᾳ φύσεως, ὑπερφυῶς ἀνδραγαθήσας· παρ' οὐδὲν γὰρ λελόγισαι, τὰς ἐναντίας φύσεις, καὶ ἐν τῷ τέμνεσθαι πικρῶς, τὴν θείαν ἤνθεις εὐπρέπειαν, καὶ ψυχῇ καὶ σώματι. Ἀλλ' ὦ Μάμα μάρτυς θαυματουργέ, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

### *Καὶ νῦν. Θεοτοκίον.*

*Μακαρίζομέν σε Θεοτόκε Παρθένε...*

### *Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.*

***Ἦχος β΄.** Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε ἀπερρίφης ἀπηνῶς, Μάρτυς εἰς θαλάσσης τὰ βάθη, τῇ τοῦ διώκτου βουλῇ, πᾶσαν κατεβύθισας, τούτου τὴν ἔπαρσιν, καὶ ἐκεῖθεν ἀλώβητος, δυνάμει τῇ θείᾳ, Μάμα ἐξελήλυθας, ὡς ἀθλοφόρος Χριστοῦ· τούτου γὰρ τὸ πάθος δοξάσας, χάρισι καὶ θαύμασι πλείστοις, παρ᾽ αὐτοῦ δεδόξασαι μακάριε.

***Στίχ.*** Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Ὅτε ἐν τῷ ὄρει ἀνελθών, Μάμα παραδόξως ἐτράφης, ἐλάφων γάλακτι, τότε πᾶσιν ἔδειξας, διαφανέστατα, ἀρετῆς τὴν ἀντίδοσιν, καὶ τὴν σὴν μεγίστην, χάριν καὶ οἰκείωσιν, πρὸς τὸν Σωτῆρα Χριστόν· ὅθεν ἐναθλήσας νομίμως, βρύεις θεϊκῇ χορηγίᾳ, ἰαμάτων νάματα τοῖς χρῄζουσι.

***Στίχ.*** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.

Ὅτε ἐν καμίνῳ τοῦ πυρός, ὡς οἱ πάλαι τρεῖς Νεανίαι, ἐβλήθης Ἅγιε, τότε ἀκατάφλεκτος, δρόσῳ τοῦ Πνεύματος, παραδόξως διέμεινας, καὶ πᾶσαν τὴν πλάνην, ἄνθραξι τῶν ἄθλων σου, Μάμα κατέφλεξας· νῦν δὲ τῶν πιστῶν τὰς καρδίας, θέρμανον πρὸς θείαν ἀγάπην, θέρμη τῶν θερμῶν σου παρακλήσεων.

*Δόξα.* ***Ἦχος δ΄.***

Δεῦτε συμφώνως οἱ πιστοί, μνήμην τελέσωμεν, Μάμαντος μάρτυρος· οὗτος γὰρ νέος Ἄβελ ἀνεδείχθη ἡμῖν· ὥσπερ γὰρ ἐκεῖνος, ποιμὴν προβάτων γεγονώς, ἀμνὸν εἰς θυσίαν πρῶτος προσήγαγε, καὶ στέφανον ἀθλήσεως, πρῶτος ἐκομίσατο, οὕτω καὶ ὁ ἔνδοξος Ἀθλοφόρος, θρεμματικοῖς ποιμνίοις ἐνδιαπρέψας, ἑαυτὸν θῦμα εὐπρόσδεκτον τῷ Χριστῷ, προσήγαγε διὰ τοῦ μαρτυρίου· καὶ παρρησίαν ἔχων πρὸς αὐτόν, τὴν εἰρήνην τῷ κόσμῳ αἰτεῖται, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

*Ἐκ παντοίων κινδύνων...*

### *Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*

***Ἦχος δ΄.** Ταχὺ προκατάλαβε.*

Ὡς ἔνθεον βλάστημα, θεοειδῶν Ἀθλητῶν, ἀγῶσιν ἀθλήσεως, ἀνδραγαθεῖς ἱερῶς, ἰσχύϊ τῆς πίστεως· ἄθλοις γὰρ ὑπὲρ φύσιν, καὶ ἐν θαύμασι πλείστοις, Μάμα μεγαλομάρτυς, τὸν Σωτῆρα δοξάζεις· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Θεοτοκίον.***

*Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...*

***Ἀπόλυσις.***

*Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Τὴν μνήμην σου σοφέ, τὴν ἁγίαν τελοῦντες, συνήλθομεν φαιδρῶς, τῷ πανσέπτῳ ναῷ σου, ὑμνοῦντες τοὺς ἀγῶνάς σου, καὶ τὴν χάριν τὴν ἄφθονον, ἣν ἑκάστοτε, παρέχεις Μάμα πλουσίως, τοῖς προστρέχουσι, τῇ ἀντιλήψει σου μάρτυς, καὶ σὲ μακαρίζουσι.

*Θεοτοκίον.*

Θεὸν ὑπερφυῶς, σωματώσασα Κόρη, ἀνύψωσας ἡμῶν, τὴν πεσοῦσαν οὐσίαν, τῷ τόκῳ σου Πανάμωμε, καὶ ἐχθρὸν ἐταπείνωσας· ὅθεν ὕψωσον, κἀμοῦ τὸν νοῦν τῶν προσύλων, πρὸς ἀγάπησιν, τοῦ προελθόντος ἀφράστως, Ἁγνὴ ἐκ νηδύος σου.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.*

*Ἦχος γ'. Τὴν ὡραιότητα.*

Ἄνθος νεότητος, εὐφρόνως ἔλιπες, καὶ ἠκολούθησας, Χριστοῦ τοῖς πάθεσιν, ἀπαρνησάμενος σαυτὸν καὶ πάντα τὰ ἐν τῷ κόσμῳ· ἔνθεν προσεχώρησας, πρὸς τὰ μέγιστα σκάμματα, καὶ κατεπολέμησας, τῶν ἐχθρῶν τὰ συστήματα, τῇ σῇ ἀπεριτρέπτῳ ἐνστάσει, Μάμα μαρτύρων ὡραιότης.

*Θεοτοκίον.*

Θρόνος πυρίμορφος, ὤφθης τοῦ Κτίσαντος, ἐν ταῖς ἀγκάλαις σου, φέρουσα Πάναγνε, τὸν πανσθενῶς ἐν τῇ δρακί, κρατοῦντα πᾶσαν τὴν κτίσιν· ὅθεν τοῦ ἀλάστορος, τῶν χειρῶν με ἀπάλλαξον, καὶ πρὸς εὐαρέστησιν, τοῦ Υἱοῦ σου τὴν κρείττονα, κυβέρνησον Ἁγνὴ τὴν ζωήν μου, ἵνα θερμῶς σε μεγαλύνω.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα.*

*Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν τὴν σήν, ὁρῶντες Μάρτυς ἀληθῶς, καρτερίαν θαυμαστήν, καὶ τῶν θαυμάτων τὴν πληθύν, οἱ αἰκιζόμενοι σῶμα τὸ ἁπαλόν σου. Πῦρ γὰρ καὶ ξεσμούς, ἀνδρείως ἤνεγκας, καὶ στόματα θηρῶν, ἄπρακτα ἔδειξας, καὶ λογχευθεὶς τὰ σπλάγχνα διαμπάξ, ἀθλητικῶς τετελείωσαι· καὶ νῦν τῆς ἄνω, ζωῆς μετέχων, μέμνησο τῶν τιμώντων σε.

*Θεοτοκίον.*

Τὸν Δεσπότην τοῦ παντός, κυοφορήσασα σαρκί, διασῴζοντα ἡμᾶς, ἐκ καταδίκης τῆς πικρᾶς, χριστιανῶν προστασία θερμὴ ἐδείχθης· ὅθεν τῆς ἐχθροῦ, δεσποτείας με, καὶ πάσης τῶν παθῶν, χαλεπότητος, τῇ σῇ χρηστότητι ῥῦσαι καὶ σῶσόν με, τὸν πεποιθότα σοι Πάναγνε, καὶ τῶν πολλῶν μου, Κόρη πταισμάτων, δίδου τὴν ἄφεσιν δέομαι.

*Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.*

*Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

*Στίχ.* Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

*Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Ἰδιόμελον. Ἦχος β'.*

*Στίχ.* Ἐλέησόν με ὁ Θεός...

Τοῦ μαρτυρίου ἀνύσας τὸν δρόμον, τὰς τοῦ ἐχθροῦ ἀτάκτους πορείας, ἐστένωσας ἔνδοξε· καὶ νικηφόρος πρὸς Χριστὸν ἀναλύσας, τῆς αἰωνίου βασιλείας τὴν ἀπόλαυσιν, μεγαλοπρεπῶς ἐκομίσω. Αὐτῆς καὶ ἡμᾶς καταξίωσον, ταῖς θεοδέκτοις πρεσβείαις σου, Μάμα παμμάκαρ, μάρτυς ἠγλαϊσμένε.



## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν Στίχους δʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*

*Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.*

Τῇ θεϊκῇ παντευχίᾳ περιφραξάμενος, μαρτυρικῶς καθεῖλες, τῶν ἐχθρῶν τὰς δυνάμεις, καὶ ἅπασαν ἰδέαν τιμωριῶν, ἀσθενῆ καὶ ἀνίσχυρον, μεγαλομάρτυς Κυρίου Μάμα κλεινέ, θείῳ ἔρωτι ἀπέδειξας.

Οὐ πῦρ οὐ θῆρες οὐκ ἄλλη δριμεῖα βάσανος, κατίσχυσαν χωρῖσαι, τῆς Χριστοῦ σε ἀγάπης, ἀλλ' ἔστης ἀπτοήτως ὁμολογῶν, τοῦ Σωτῆρος τὴν σάρκωσιν, καὶ καταπλήττων τοὺς πάντας Μάμα σοφέ, τῶν θαυμάτων ἐπιδείξεσι.

Διαπαρεὶς σου τὰ σπλάγχνα καιρίως ἔτρωσας, τὸν πονηρὸν Βελίαρ, καὶ κατέβαλες τοῦτον, ὦ Μάμα Ἀθλοφόρε, καὶ πρὸς ζωήν, τὴν ἀγήρω ἀνέδραμες· ἧς καὶ ἡμᾶς κληρονόμους ταῖς πρὸς Θεόν, ἱκεσίαις σου ἀνάδειξον.

Ταῖς μυστικαῖς λαμπηδόσι καταλαμπόμενος, τῆς Παντουργοῦ Τριάδος, Ἀθλοφόρε Κυρίου, ἐκ σκότους ἁμαρτίας καὶ πειρασμῶν, πολυτρόπων ἀπάλλαξον, τοὺς ἑορτάζοντας, Μάμα, τὴν ἱεράν, καὶ πανένδοξόν σου ἄθλησιν.

*Δόξα. Ἦχος πλ. δʹ.*

Τίς ἐπαξίως ὑμνήσει, τῆς σῆς ἀθλήσεως τὰ σκάμματα, Μάμα ἀθλητὰ μακάριε; ὡς γὰρ ἄσαρκος ἠγωνίσω, καὶ τὸν ἀσώματον ἐχθρόν, τοῖς ἀνενδότοις σου παλαίσμασι, ἐν νεάζοντι σώματι, καταβαλὼν ἐθριάμβευσας· διὰ πυρὸς γὰρ καὶ ὕδατος διῆλθες, καὶ σιδήρου ἀκμαιότερος φανείς, τῆς θείας ἀγάπης τὸ κράτος, ἐναργῶς ἐφανέρωσας· καὶ νῦν τῆς ἀφθαρσίας λαβὼν τὸ γέρας, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.***

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

***Τὰ Τυπικά, οἱ Μακαρισμοί, ἐκ δὲ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γʹ καὶ ϛʹ ᾠδή.***

***Ἀπόστολον καὶ Εὐαγγέλιον*** βλέπε Μηνολόγιον.

*Κοινωνικόν.* ***Εἰς μνημόσυνον αἰώνιον...***

***Μεγαλυνάριον.***

Τέθηλας ἐκ ῥίζης θεοφιλοῦς, καὶ τῆς ἀληθείας, ἐγεώργησας τοὺς καρπούς· σὺ διὰ πυρὸς γάρ, καὶ ὕδατος διῆλθες, ἐκλάμπων ἐν τοῖς ἄθλοις, Μάμα τοῖς θαύμασι.